Σιγιάσαι, σιωπῆσαι. κοσκινίσαι. θορυβῆσαι. ταράξαι. πειράσαι. Σίνος, βλάβη. Σινθῆναι, βλαβῆναι. Σίνης
βλαβερός. Σιγωπῆσαι, τοῦτο πεποίηται παρὰ τὰς ἑταίρας Σινώπας. ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ καταφρονῆσαι,
καθάπερ ἄλιξις ἔφη. Σινώπη, ἑταίρα, ἥτις καὶ Ἄβυδος ἐλέγετο, διὰ τὸ γράψαι εἶναι. Σιπύα, σιτηρὸν, ἀγγεῖον, ὡς
Λυδίας καὶ Εὔπολις καὶ Ἀριστοφάνης. Σιραῖον, τὸν ἑψημένον οἶνον καὶ γλυκύν. Σιρῆνες, αἱ τῆς ψυχῆς ἐγ-
κρατεῖς καὶ μουσικαὶ δυνάμεις. Σιρίον, τὸν κύνα. ὅτε δὲ τὸ . . . . Ἰσυκος δὲ πάντα τὰ ἄστρα Σιρία.
Σιροῖς, ὄρυγμα ἐν οἷς κατατίθετο τὰ σπέρματα. Σιρομάστης, σκεῦός τι σιδηροῦν λαβὴν ξυλίνην ἔχον παρὰ
τοῖς τελώναις εἰς ἔρευναν. Σικάριον, χρυσοῦν κοσμαρίῳ ὅμοιον. Σισυβοι, κρωσσοί. ἱμάτιες.
Σισυραβάτη, τοῦτό ἐστι τὸ ἐκ κωδίων συῤῥεραμμένον ἱμάτιον. οὕτως Ἀριστοφάνης. Σισύρα, ἱμάτιον τραχὺ,
περίβολον ἀγροικικόν. δερμάτινον. παλαιοῦ ἢ χιτὼν δερμάτινος. Σίτου δίκη, ὅταν γυνὴ ἀποδικεῖν ποιησαμε-
νη πρὸς τὸν ἄνδρα διὰ τοῦ ἄρχοντος. ἢ καὶ ὑπὸ τοῦ ἀνδρὸς ἐκπεμφθεῖσα μὴ ἀποδαμβάνῃ τὴν προῖκα, καὶ διαγε-
νηται χρόνος, καὶ δίκην εἰσάγῃ πρὸς αὐτὸν καὶ ἀπαιτῇ προῖκα καὶ τροφὰς ἀφ' ἧς ἀπηλλάγη ἡμέρας. ἡ αὐτὴ
καλεῖται δίκη σίτου. Σιταρχία, ἡ σίτου διδοῦσα τοῖς ἐπιβάταις. Σιτηρέσιον, τὸ διδόμενόν τισιν εἰς
τροφήν. Σιτηρήσιον ἐν τῷ ε΄ Σιτηρόσιον. Σιτιόεων, τροφῶν. δαπανῶν. Σιτοδεία, λιμός. ἔνδεια.
Σῖτος, καλεῖται σῖτος ἡ διδομένη πρόσοδος εἰς τροφὴν γυναιξὶ, ἢ τοῖς ὀρφανοῖς, οἷς ἐστι μανθάνειν καὶ ἐν τῷ τοῦ σό-
λωνος πρώτῳ ἄξονι, καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας. Τιμαχίδας ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον
λέγεσθαι τὸν τόκον, οὐκ ὀρθῶς λεγόμενος. Σῖτος, πᾶς ὁ σιτικὸς καρπὸς, οὐχ ὁ πυρὸς μόνον. καὶ αὐτὰ τὰ σπέρ-
ματα. Θουκυδίδης δ' καὶ τῶν νεῶν φησὶ ἔχουσῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ἔφυτο, αἱ δὲ μετεωροι ὅρμων. Σίτου τροφῆς.
Σίτου ἐκβολὴ, Θουκυδίδης, ὅταν ὁ σάκχος τῆς κάλυκος ἐκφύεται ἢ ὅταν ἐκ τῆς γῆς ἀναδίδοται τὰ σπέρ-
ματα. Σιτούμενος, ἐδίων. Σιτοφύλακες, ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως
ἀναδοθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν πέντε καὶ δέκα ἐν ἄστει, πέντε δὲ
ἐν Πειραιεῖ. ὕστερον δὲ λ' ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ. Σιτίβυβα, δερμάτια. Σιτῶνης, ὁ προσεχὼς τοῦ
δημοσίου σίτου. Σίφλος, μῶμος. Σιφλώσεις, μέμψεις. ἐκφαυλίσεις. Σιφνιάζειν καὶ Λεσβιάζειν ἀπὸ
τῆς νήσου Σίφνου, ὡς καὶ τὸ κρητίζειν. καὶ Σιφνίος δὲ Ἀρχάβων ὁμοίως. Σιφνιάζειν, τὸ ἅπτεσθαι τῆς πυ-
γῆς δακτύλῳ. Λεσβιάζειν δὲ στόματι παρανομεῖν. Σιώκολλος, νεοκόρος. Εὔπολις. Σκαβιονίδαι, δῆμος
Λεοντίδος. Σκάζει, χωλεύει. Σκαιᾷ, τῇ ἀριστερᾷ. Σκαιμβατεῖν, τὸ σκαιῶς καὶ ἀρυθμῶς ἐνβαίνειν ὀρ-
χούμενον. τὸ ἐν τῇ συνωδίᾳ κεκινημβατεῖν. Σκαιός, ἀριστερός. ἄφρων. κακός. Σκαιότης, μωρία.
ἀπαιδευσία. ἀγριότης. ἀπάτη. Σκαίροντες, χορεύοντες. σκαρίζοντες. Σκαλαθύρματα, σκαφιδήματα.
Ἀριστοφάνης. Σκάλινος. Σκάλλοντες, σκάπτοντες. Σκάλμη, θρακία. μάχαιρα. Σκάλμοι, τὰ ξύλα
ὧν δέονται αἱ κώπαι πρὸς τὴν εἰρεσίαν. Σκάλος, οὗ ἡμεῖς σκάλακα. Σκάλωψ, ὁ σκάπαξ ἐν Κλεοιο-
βουλίναις Κρατῖνος. Σκαμανδριαῖος, ποταμιαῖος. Σκαμβωνίδαι, δῆμος τῆς Λεοντίδος. Σκαν-
δαλίδρα, καὶ Σκανδάλα, λέγουσιν. Σκανδαλίδρας, τὰς ἐξ ὧν Κρατῖνος. Σκάνδιξ, λαχανον
ἅγιον. παρ' ὃ καὶ Σκανδικοπώλην τὸν Εὐριπίδην λέγουσιν. ἐπεὶ λαχανοπωλῆ τρίας ἡν αὐτὸν
εἶναι φασι. Σκαπανεά, λέγουσιν. ἢ Σκαφανεά. Σκαπάνη, σκαφίον. ὀρύγιον. δικέλλιον. Σκα-
τέρδα, παιδιά τις. Δοκίδος γὰρ ἐκτετριμμένης χοινίον διεκβαλόντες προσάπτουσι τοῖς νεανίσκοις.
καὶ ὁ προσαγαγὼν πρὸ τοῦ δοκίδα τὸν ἕτερον νικᾷ. Σκαρδαμύττει, νύσσει τοὺς ὀφθαλμοὺς κλείων
καὶ ἀνοίγων. Σκάρκη, ἀργύρια. Θρᾳκικοί. Σκατοφάγος, ἀκάθαρτος. οὕτως Μένανδρος. ἀλλὰ
σκατοφάγος ἐστὶ καὶ λίαν πικρός. Σκάφας, ἔφερον οἱ μέτοικοι ἐν τῇ πομπῇ τῶν Παναθηναίων. οἱ
μὲν χαλκᾶς. οἱ δὲ ἀργυρᾶς. κηρίων καὶ ποπάνων πλήρεις, ἐνδεδυκότες φοινικίδας χιτῶνας. οὕτως
Μένανδρος. Σκαφεῖον, ἡ νῦν λεγομένη ἄμη, ἐν ᾗ σκάπτουσιν. Σκαφίον, τάχα λέγει τὸν κάδισκον
ᾧ καταχέονται αἱ γυναῖκες. ἔχει γάρ τι ἐμφερὲς πρὸς τὸ σκάφος, ὅ ἐστιν εἶδός τι πλοίου. Σκαφη-
φορεῖν, τὸ τοῦ μετοίκου ἐν ταῖς πομπαῖς σκάφος φέρειν πλήρες δυσιῶν. αὕτη γὰρ ἡ μὴ τῶν μετοί-
κων λειτουργία. Σκαφηφόροι, Δείναρχος ἐν τῷ κατὰ Ἀγποκλέους φησί. οἱ ἀντὶ σκαφηφόρων ἔφηβοι
εἰς τὴν Ἀκρόπολιν ἀναβήσονται, Reliq. ut in Suida. Σκαφίδας, ἢ σκάφας, τὰ σκεύη. Σκαφίδας
μίξας μοσσυνικὰ μαζονόμια. Ἀριστοφάνης. Σκάφιον, ἀποπεκαρμένην. καὶ Σκαφιόκυφον τὸν
κείρονται. Σκάφιον, ἔστιν καὶ εἶδος κυφᾶς ὡς Ἀντιφῶν καὶ Ἀριστοφάνης. Σκάφον, κυφὰ περι-
τρόχαλος. οὕτως Ἀριστοφάνης. Σκεδάζει, σκορπίζει. Σκεδαστὴν, τὸν μεριστήν. Σκέδρον, ἀκριβές.
Σκελετεύεσθαι, ξηραίνεσθαι. Ἀριστοφάνης. Σκεδόμενα, ἀφανιζόμενα. Σκέπαρνον, ἀρρενικῶς
οἱ παλαιοὶ τὸν σκέπαρνον καὶ παρ' ὁμήρῳ. Σκερβόρε, λοίδορε. Σκευοθήκη, τόπος τις ὅπου ἀπε-
τίθετο τὰ σκεύη τῶν δημοσίων τριήρων. Σκευοποιοῦνται τὸ πρᾶγμα. Ὑπερείδης ἐν τῷ κατὰ
Ἀντιδότου, τοῦ σκευωρούμενον, καὶ κατασκευάζοντα, καὶ πλαττόμενον. Σκεῦος, τὸ αἰδοῖον. Σκευοφορεῖον,
ἀναφορεῖον, τὸ ἐπὶ τῶν ὤμων ἀμφικοῖλον ξύλον ἐν ᾧ ἐξαρτῶσι τὰ βάρη. Σκευωρία, κατασκευή. ἐπι-
βουλή. βλάβη. Σκέψομαι, θεωρήσω. Σκηνή, ἡ οἰκία καὶ καταγωγή, ὡς Ἀσιαγενὴς τὴν λέξιν.
οὕτως Μένανδρος. Σκηνὴν δὲ ἣν ἔχουσιν. ὧδε γὰρ ταύτην λαβόντες ἀναφέρουσιν. Δημοσθένης ἐν τῷ
πρὸς Σκυθίαν. Ἔοικε δὲ σκεῦός τι εἶναι ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναι φασιν. οἱ δὲ
σκιάδιον. Σκηνίτης, ἰσοκράτης τραπεζιτικῷ. πυθόδωρον γὰρ τὸν σκηνίτην καλούμενον. Ἔοικε
δὲ ἐπωνύμιον εἶναι. μήποτε δὲ εἰς ἀγοράσιον λεγόμενον. ἐπειδὴ ἐν σκηναῖς ἐπιπρᾶσκετο πολλὰ
τῶν ὠνίων. Σκηπάνιον, σκῆπτρον. Σκῆπων, ῥόπαλον. παρ' ὃ καὶ Σκεπάνιον. Σκήπτεται.
προφασίζεται. Σκηπτόμενος, ἐκφερόμενος. σπηρῶμενος. Σκηπτόμενος, ἀξιῶν ἢ ἐμφαίνων.
Σκηπτὸς, κεραυνὸς ἄνωθεν διὰ πυρός. Σκῆπτρον, βασιλικὴ ῥάβδος: Σκηπτοῦχος, βασιλεύς.
Σκῆψις, πρόφασις ἢ φροντὶς, ἀναβολή. Σκῆψις πόλις ἐν τῇ Τροιᾷ ἧς μνημονεύει Δημοσθένης
ἐν τῷ κατὰ Ἀριστοκράτους. Σκῆψις, πρόφασις, καὶ ἡ δίκη τις ὅθεν ὑπωμοσία καὶ παραγραφή. Σκια-
γράφος, ὁ νῦν σκιωνγράφος. οὕτως Ἀπολλόδωρος. Σκιαδείων, καρυχοῦν. Σκιάδος, νῆσός ἐστι
πλησίον Εὐβοίας ἧς μέμνηται Δημοσθένης ἐν Φιλιππικοῖς. Σκιάποδες, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας.
ἔθνος ἐστὶν Λιβυκόν. Κτησίας δ' ἐν περίπλῳ Ἀσίας φησί. ὑπὲρ δὲ τοῦτον σκιάποδες θεῖον τοῦς τε πόδας
οἱ χῆνες ἔχουσι κάρτα πλατείας. καὶ ὅταν θέρμη ἡ ἥλιος ἀναπεσόντες ἄρωνται τὰ σκέλη σκιάζονται τοῖς
ποσίν. Σκιάποδες, Λιβυκὸν ἔθνος. οὕτως Ἄρχιππος. Σκιὰς, ἀναδενδράς. σημαίνει δὲ καὶ τὴν παρ' Ἀθη-
ναίοις λεγομένην θόλον. Σκιὰς, καὶ Σκιάδειον, ἐν ᾧ Διόνυσος κάθηται. οὕτως Εὔπολις. Σκιδνάμενος,
σκορπιζόμενος. Σκιμαλίσαι, καταδακτυλίσαι ἀχρηστότερον. Σκιμβάζειν, χωλεύειν καὶ ἀσκωλίζειν,
τὸ αὐτὸ τοῦτο. οὕτως Ἀριστοφάνης. Σκίμψος, κράββατος ἢ σκάμνος. Σκινδακίσαι - - - - - -
ἐπανασῆναι. Σκινδάλαμοι, τὰ τῶν καλάμων ἀποξύσματα ἢ σκόλοπες. Σκινδαλεύειν, προσκί-
νημα. καὶ τὸν ὄχλον ὑπανασῆναι ἀκολάστως, Σκινδαλίσαι. Σκιδεντα, σύσκια. Σκιραφιά
τὰ κυβία. ἢ διότι Σκιραφές ἐστι, τὸ ὄργανον τὸ κυβευτικόν. ἢ ἀπὸ Σκιράφου τινὸς κυβευτοῦ
ὃς πρῶτος ὠφήκεναι δοκεῖ τὰ κυβευτικὰ ὄργανα. ἢ ὅτι ἐν τῷ τῆς Σκιράδος Ἀθηνᾶς ἱερῷ οἱ
κυβευταί. Σκιράφιον, κυβευτήριον. Σκιραφία, τὰ κυβευτήρια φησιν, ἐπειδὴ διέτριβον Σκιρῷ
οἱ κυβεύοντες, ὡς Θεόπομπος. Σκίρον, Σκίρα ἑορτὴ παρὰ Ἀθηναίοις ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών.
φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν, ὡς τὸ Σκίρον σκιάδειόν ἐστιν, μεθ' ὃ φε-
ρόμενοι ἐξ Ἀκροπόλεως — Reliq. ut in Suida nisi quod σύμβολον in Suid. recte legat σύμβολον in Phot. et
Φιλόκαρος in Phot. recte in Suid. Φιλόχαρος.

http://digital.slub-dresden.de/ppn346246385/78